§. 51. τόδε τὸ καλούμενον ὅλον] Gorg. p. 508. A. καὶ τὸ ὅλον τοῦτο διὰ ταῦτα κόσμον καλοῦσι. Ex mente scriptoris libri Plutarchei de Placit. Philosoph. ii. 1. τὸ ὅλον et τὸ πᾶν probe sunt discernenda. Stalb.

ἐπιτροπεύειν] Cum accusativo conjungitur Theætet. p. 153. A. Cratyl. p. 413. B. Politic. p. 189. B. de Republ. vii. p. 516. B. p. 519. B. Stalb.

τὸ ὅπῃ ἔτυχεν] E Bas. 2. Euseb. restitui, vulgo male τὰ ὅπῃ ἔτυχεν. De

Digitized by Google

περ' οἱ πρόσθεν ἡμῶν ἔλεγον νοῦν καὶ φρόνησίν τινα θαυμαστὴν συντάττουσαν διακυβερνᾶν;

ΠΡΩ. Οὐδὲν τῶν αὐτῶν, ὦ θαυμάσιε Σώκρατες. ὁ μὲν γὰρ σὺ νῦν λέγεις,[u] οὐδ' ὅσιον εἶναί μοι φαίνεται· τὸ δὲ νοῦν πάντα[v] διακοσμεῖν αὐτὰ φάναι καὶ τῆς ὄψεως τοῦ κόσμου καὶ ἡλίου καὶ σελήνης καὶ ἀστέρων[w] καὶ πάσης τῆς περιφορᾶς ἄξιον, καὶ οὐκ ἄλλως ἐγωγ' ἄν ποτε περὶ αὐτῶν εἴποιμι οὐδ' ἂν δοξάσαιμι.[x]

§. 52. ΣΩ. Βούλει δῆτά τι[y] καὶ ἡμεῖς τοῖς ἔμπροσθεν
11. 29. ὁμολογούμενον[z] ξυμφήσωμεν,[a] ὡς[b] ταῦθ'[c] οὕτως ἔχει, καὶ

[t] τὸ om ΓΑΒCEFHw.—[u] τὸ ΧΞCw, om ΑΗ.—[u] νῦν λέγεις ΓΛΣΒCHw, νῦν δὴ λέγεις ΧΔΠ: λέγεις νῦν *s.—[v] παντάπαν Γ.—[w] ἀστέρων ΧΔΠ: ἄστρων *s.—[x] δόξαιμι Γ.—[y] τι add ΧΔΠ.—[z] ὁμολογούμενον ΧΓΑΔΠΣΒCHw, ὁμολογούμενοι EF: ὁμολογουμένοις *s.—[a] ξυμφήσομεν ΞΕ.—[b] εἰ Γ.—[c] τοῦθ' Λ.—[d] ὀνόμεθα Λ.—

sensu cfr. Menander apud Stob. t. i. p. 214. Οὐδὲν κατὰ λόγον γίγνεθ' ὧν ποιεῖ τύχη. STALB.

οἱ πρόσθεν ἡμῶν ἔλεγον] Intelligit Anaxagoram, quem primum docuisse constat, rerum universitatem vi et ratione Mentis infinitæ (Νοῦς) regi et administrari. cfr. Phædon. p. 98. B. Cratyl. p. 413. C. Xenoph. Memor. iv. 7. Sext. Empir. p. 549. Diog. Laert. ii. 6. ubi vid. Menag. et Aldobrand. Valcken. Diatrib. in Eurip. p. 40. B. Proprium autem verbum, quo philosophus hac in re utebatur, erat διακοσμεῖν. Vid. Aldobrand. ad Diog. Laert. procem. §. 2. et Fischer. ad Phædon. c. 46. Hinc paullo post τὸ δὲ νοῦν πάντα διακοσμεῖν αὐτὰ φάναι κ. τ. λ. STALB.

ὃ μὲν γὰρ σὺ νῦν λέγεις] Apud Euseb. legitur ὃ μὲν γὰρ δὴ σὺ λέγεις.—ὄψις τοῦ κόσμου καὶ ἡλίου καὶ σελήνης mundi et solis et lunæ spectaculum. ut de Legg. x. p. 887. D. 910. A. Phædr. p. 250. B. Fragmentum lexici Mœsi apud Creuzer. ad Plotin. de Pulcritudin. p. 377. ὄψις καὶ ἡ πρόσοψις, καὶ ἡ ὁρατικὴ δύναμις· καὶ ὄψις τὸ θεαθέν. De sensu cfr. de Legg. libr. xii. p. 966. E. ἓν μὲν, ὃ περὶ τὴν ψυχὴν ἐλέγομεν, ὡς πρεσβύτατόν τε καὶ θειότατόν ἐστι πάντων, ὃν κίνησις γενέσθην παραλαβοῦσα ἀέναον οὐσίαν ἐπόρισεν, ἓν δὲ τὸ περὶ τὴν φορὰν, ὡς ἔχει τάξεως, ἄστρων τε καὶ ὅσων ἄλλων ἐγκρατὴς νοῦς ἐστὶ τὸ πᾶν διακεκοσμηκώς. Ὁ γὰρ ἰδὼν ταῦτα μὴ φαύλως μηδ' ἰδιωτικῶς, οὐδεὶς οὕτως ἄθεος ἀνθρώπων ποτὲ πέφυκεν, ὃς οὐ τοὐναντίον ἔπαθεν ἢ τὸ προσδοκώμενον ὑπὸ τῶν πολλῶν. coll. Xenoph. Memorab. i. c. 4. STALB.

§. 52. δῆτα] Pro δῆτα Theodoret. δέ. STALB.

ὁμολογούμενα] De Schleiermacheri conjectura in textum recepi Ald. Bas. 2. ὁμολογουμένοις. Theodoret. ὁμολογημένοις. Bekk. ὁμολογούμενον, quod nostram lectionem confirmat. STALB.

ξυμφήσωμεν] Ald. Bas. 1. 2. ξυμφήσομεν. Quod haud scio, an non tanto cum contemtu abjiciendum sit, quam plerumque fieri solet. Phædon. p. 99. D. βούλει σοι, ἔφη, ἐπίδειξιν ποιήσωμαι, ὃ Κέβης; ubi Heind. et Wyttenbach. de Stephani conjectura dederunt ποιήσωμαι. Cratyl. p. 397. A. πόθεν οὖν βούλει, ἀρξόμεθα, ubi Heind. ἀρξόμεθα. Parmenid. p. 137. B. ἢ βούλεσθε, ἐπειδήπερ δοκεῖ πραγματειώδη παιδιὰν παίζειν, ἀπ' ἐμοῦ ἄρξομαι καὶ τῆς ἐμαυτοῦ ὑποθέσεως, ubi editores sine librorum suffragio ἄρξομαι. de Republ. v. p. 453. A. βούλει οὖν, ἦν δ' ἐγὼ, ἡμεῖς πρὸς ἡμᾶς αὐτοὺς ὑπὲρ τῶν ἄλλων ἀμφισβητήσωμεν; ubi Ald. Bas. 1. 2. Galen. ἀμφισβητήσομεν. Schæferus ad Lamb. Bos. p. 765. 'Mira, inquit, structura, ac nisi soloecа, certe σολοικοφανεῖ, Epigr. adespot. ccxlix. Κύπρι, θέλεις οὕτως ἐς κρίσιν ἐρχόμεθα; Item Lucian. t. iii. p. 250. ἢ ἐθέλεις ἐγὼ αὖθις ἐπάνειμι; ibid. p. 265. ἢ ἐθέλεις καταριθμήσομαι; Hom. Il. vi. 340. 'Αλλ' ἄγε νῦν ἐπίμενον, 'Αρήϊα τεύχεα δύω.' Disputavit de hujusmodi locis Hermann. de ellipsi et ple-

Digitized by Google

μὴ μόνον οἰώμεθα[d] δεῖν τἀλλότρια ἄνευ κινδύνου λέγειν, ἀλλὰ καὶ συγκινδυνεύωμεν[e] καὶ μετέχωμεν τοῦ ψόγου, ὅταν ἀνὴρ δεινὸς φῇ ταῦτα μὴ οὕτως ἀλλ' ἀτάκτως ἔχειν; II. iii. 169.

ΠΡΩ. Πῶς γὰρ οὐκ ἄν βουλοίμην;

ΣΩ. Ἴθι δή, τὸν ἐτιόντα περὶ τούτων νῦν ἡμῖν λόγον ἄθρει.

ΠΡΩ. Λέγε μόνον.

ΣΩ. Τὰ περὶ τὴν τῶν σωμάτων φύσιν ἁπάντων τῶν ζώων, πῦρ καὶ ὕδωρ καὶ πνεῦμα, καθορῶμέν που, καὶ γῆν, καθά περ οἱ χειμαζόμενοί φασιν, ἐνόντα ἐν τῇ συστάσει.[f]

ΠΡΩ. Καὶ μάλα· χειμαζόμεθα γὰρ ὄντως[g] ὑπ' ἀπορίας[h] ἐν τοῖς νῦν λόγοις.

ΣΩ. Φέρε[i] δή, περὶ ἑκάστου[j] τῶν παρ' ἡμῖν λαβὲ τὸ[k] τοιόνδε.

ΠΡΩ. Ποῖον;

---

[a] συγκινδυνεύωμεν...μετέχωμεν F, συγκινδυνεύομεν...μετέχομεν Π.—[f] στάσει Γ.—[g] ὄντος Λ.—[h] ἀπειρίας ΛΗΓΗ.—[i] περὶ om Γ.—[j] ἕκαστον F.—[k] τὸ ω.—[l] μικρὸν

onasmo in Museo Antiquitat. Studior. p. 182. Plurimi Theodoreti codd. ξυμφωνήσωμεν præstant. STALB.

ξυγκινδυνεύωμεν καὶ μετέχωμεν] Theodoret. ξυγκινδυνεύσωμεν καὶ μετασχῶμεν. Quod vide, an verum sit. Notandum vero, ante hos conjunctivos e prægresso μὴ supplendum esse ὅτως. Nam quæ Matth. Gr. Gr. §. 520. not. 4. de hujus particulæ constructione monuit, ea refutarunt Heind. ad Protagor. p. 476. Poppo Observat. in Thucyd. p. 135. Satis autem constat, sæpenumero ex enuntiationibus negantibus repetendum esse vocabulum aliquod, quod affirmationem contineat. Rem satis illustrarunt et firmarunt exemplis Heind. ad Gorg. §. 20. Gronov. Observat. iv. 2. interpt. ad Horat. Satyr. i. 1. 3. STALB.

ὅταν ἀνὴρ δεινὸς φῇ] Mira est Sydenhami sententia, qui ad Critiam respici opinatur, qui et Socratem injuste damnaverit, et ceteroquin prorsus ita senserit, ut hic dicatur. Laudat ille Sext. Empir. p. 562. Scilicet ignoravit bonus vir, δεινοὺς eximie sophistas appellari. Hi vero non solum omnem virtutem funditus evertere, sed etiam divini numinis providentiam nullam esse probare studuerunt. De usu illo voc. δεινὸς sufficiet laudasse Protagor. p. 341. A. Πρωταγόρας σοφὸς καὶ δεινός ἐστιν ἀνήρ. Theætet. p. 154. D. εἰ μὲν δεινοὶ καὶ σοφοὶ ἔγωγε καὶ σὺ ἦμεν. Ac ne quis in verbo ξυγκινδυνεύωμεν hæreat, quomodo illud intelligendum sit, satis docet adjectum καὶ τοῦ ψόγου μετασχῶμεν. STALB.

καθάπερ οἱ χειμαζόμενοί φασιν] Respicere videtur ad nautarum consuetudinem, qui tempestatibus agitati, ubi terram conspiciant, clamare soleant: καθορῶμεν γῆν! *Land!* Hanc autem fluctuantium mentionem Protarchus ad disputationis ambiguitatem ac difficultatem transfert, χειμαζόμεθα γὰρ ὄντως, inquiens, ὑπ' ἀπορίας ἐν τοῖς νῦν λόγοις. Scilicet χειμάζεσθαι sæpius ita de disputatione apud Platonem usurpatur. Lachet. p. 194. B. ἀνδράσι χειμαζομένοις ἐν λόγῳ καὶ ἀπορουσι βοήθησον. Euthydem. p. 292. E. ἔγωγε οὖν καὶ αὐτὸς, ὦ Κρίτων, ἐπειδὴ ἐν τῇδε τῇ ἀπορίᾳ ἐνεστάκειν, πᾶσαν ἤδη φωνὴν ἠφίειν, δεόμενος τοῦ ξένου, ὥσπερ Διοσκούρων ἐπικαλούμενος, σῶσαι ἡμᾶς—ἐκ τῆς τρικυμίας τοῦ λόγου. STALB.

ποῖον] Cave τὸ ποῖον corrigas, quanquam hoc longe frequentissimum. cfr. Marcland. ad Eurip. Iph. T. 1319. Fischer. ad Weller. t. i. p. 346. Wyttenbach. ad Phædon. §. 42. Hermann. ad

Digitized by Google

§. 53. ΣΩ. Ὅτι σμικρόν[l] τε τούτων ἕκαστον παρ' ἡμῖν[m] ἔνεστι[n] καὶ[o] φαῦλον καὶ οὐδαμῇ οὐδαμῶς εἰλικρινὲς ὂν καὶ τὴν δύναμιν οὐκ ἀξίαν τῆς φύσεως ἔχον. ἐν ἑνὶ δὲ λαβὼν[p] περὶ πάντων νόει ταὐτόν. οἷον πῦρ ἔστι μέν[q] που παρ' ἡμῖν, ἔστι δ' ἐν τῷ παντί.

ΠΡΩ. Τί μήν;[r]

II. iii. 170. ΣΩ. Οὐκοῦν σμικρὸν μέν τι[s] τὸ παρ' ἡμῖν καὶ ἀσθενὲς[t] καὶ φαῦλον, τὸ δ' ἐν τῷ παντὶ πλήθει τε θαυμαστὸν καὶ κάλλει καὶ πάσῃ δυνάμει τῇ περὶ τὸ πῦρ οὔσῃ.

ΠΡΩ. Καὶ μάλα ἀληθῆ[u] ὃ λέγεις.

ΣΩ. Τί δαί;[u] τρέφεται καὶ γίγνεται ἐκ τούτου καὶ ἄρχεται τὸ τοῦ παντὸς πῦρ ὑπὸ τοῦ παρ' ἡμῖν πυρός, ἢ τοὐναντίον ὑπ' ἐκείνου τό τ' ἐμὸν καὶ τὸ σὸν καὶ τὸ τῶν ἄλλων ζώων ἅπαντ' ἴσχει ταῦτα;

Α.—[m] παρ' ἡμῖν om F.—[n] ἔν ἐστι CHw.—[o] καὶ ante φαῦλον om Σw.—[p] λαβὸν Λ.—[q] μέν ἐστι ΑΔΠ.—[r] τί μὴν πλήθει Ε: τί...παντὶ om F.—[s] τοι ΛΞ.—[t] ἀσφαλὲς C.—

Viger. p. 705. Sed omissi etiam articuli exempla haudquaquam rara. cfr. infra p. 33. B. Politic. 263. D. 264. A. 291. B. de Republ. iv. p. 425. A. vii. 530. E. Scilicet ποῖον dicitur, si articulus additus legitur nomini, ad quod interrogatio pertinet; sin minus, τὸ ποῖον usurpatur. Stalb.

§. 53. σμικρόν τι—παρ' ἡμῖν] Opponuntur hic τὰ ἐν τῷ παντὶ στοιχεῖα τοῖς παρ' ἡμῖν, ita quidem ut illa his longe præstantiora esse dicantur. Quippe corporis nostri elementa sunt nonnisi particulæ quædam ex universi mundi igne, aqua, aere, terra decerptæ, adeoque ab his sustentantur atque aluntur. cfr. Tim. p. 41. A. ubi creator mundi dæmonibus homines creare imperat. Locus longior, quam qui huc transscribi possit. Pertinet etiam huc fragmentum Hermetis apud Stob. Eclog. Phys. t. ii. p. 746. εἰκότως οὖν κατὰ τὸν ὀρθὸν λόγον ἐκεῖνα μὲν τὰ σώματα, ὡς ἐξ ἀσωμάτου οὐσίας γεγενημένα, ἀθάνατά ἐστι· τὰ δὲ ἡμέτερα διαλυτὰ καὶ θνητά, ὡς τῆς ὕλης ἡμῶν ἐκ σωμάτων συνεστώσης, διὰ τὸ ἀσθενῆ εἶναι καὶ πολλῆς ἐπικουρίας δεόμενα. Πῶς γὰρ ἂν καὶ τὸ τυχὸν ἀντέσχεν ὁ σύνδεσμος ἡμῶν τῶν σωμάτων, εἰ μή τινα εἶχεν ἐπεισερχομένην τροφὴν ἐκ τῶν ὁμοίων στοιχείων καὶ ὑπερσωμάτου ἡμᾶς καθ' ἡμέραν; καὶ γὰρ γῆς τε καὶ ὕδατος καὶ πυρὸς καὶ ἀέρος ἐπιῤῥοὴ ἡμῖν γίγνεται, ἥτις τὰ σώματα ἡμῶν νεοποιοῦσα συνέχει τὸ σκῆνος ctr. Pro σμικρόν τι, quod ex Eusebio reposui, vulgo σμικρόν τε. Offendunt dein παρ' ἡμῖν ἔνεστι. Nam aliud est, quod paullo post sequitur ἔστι μέν που παρ' ἡμῖν. Vide an scribendum sit ἑκάστῳ παρ' ἡμῖν ἔνεστι. Stalb.

εἰλικρινὲς] *Integrum, nihil in se dispar sui admixtum habens, omni aliena materia carens*, uti explicant Hesych. et Etymol. M. Stalb.

σμικρὸν μέν τι] Rem illustrat ignis exemplo, qui quum in rerum universitate plurimus, pulcherrimus, denique præstantissimus fluat, in hominum corporibus adeo parvus, mancus, imbecillis insit, ut hæc ab universo non possint non ali atque sustentari. Tim. p. 31. B. σωματοειδὲς δὴ καὶ ὁρατὸν ἁπάντων τε δεῖ τὸ γενόμενον εἶναι. χωρισθὲν δέ τε πυρὸς οὐδὲν ἂν ποτε ὁρατὸν γένοιτο· οὐδὲ ἁπτόν, ἄνευ τινὸς στερεοῦ· στερεὸν δὲ, οὐκ ἄνευ γῆς. ὅθεν ἐκ πυρὸς καὶ γῆς τὸ τοῦ παντὸς ἀρχόμενος συνιστάναι σῶμα ὁ θεὸς ἐποίει. cfr. Aristotel. de Anima ii. 36.—Pro σμικρὸν μέν τι in Bas. 2. σμικρὸν μέν τοι. Male. Stalb.

ἅπαντ' ἴσχει ταῦτα] Hæc verba Ficinus in versione non expressit; verlit

Digitized by Google

ΠΡΩ. Τοῦτο μὲν οὐδ' ἀποκρίσεως ἄξιον ἐρωτᾷς.

ΣΩ. Ὀρθῶς· ταὐτὰ γὰρ[v] ἐρεῖς, οἶμαι,[w] περί τε τῆς ἐν τοῖς ζώοις γῆς τῆς ἐνθάδε καὶ τῆς ἐν τῷ παντί, καὶ τῶν ἄλλων δὴ πάντων[x] ὅσων ἠρώτησα[y] ὀλίγον[z] ἔμπροσθεν,[a] οὕτως ἀποκρινεῖ.[b]

ΠΡΩ. Τίς[c] γὰρ ἀποκρινόμενος ἄλλως ὑγιαίνων ἄν ποτε φανείη;

§. 54. ΣΩ. Σχεδὸν οὐδ' ὁστισοῦν. ἀλλὰ τὸ μετὰ τοῦτο ἑξῆς ἕπου. πάντα γὰρ ἡμεῖς ταῦτα τὰ νῦν δὴ λεχθέντα ἆρ' οὐκ εἰς ἓν συγκείμενα ἰδόντες ἐπωνομάσαμεν[d] σῶμα;

ΠΡΩ. Τί μήν;

ΣΩ. Ταὐτὸν δὴ λαβὲ[e] καὶ περὶ τοῦδε ὃν κόσμον λέγομεν. διὰ τὸν αὐτὸν[f] γὰρ τρόπον ἂν εἴη που σῶμα, σύνθετον ὂν[g] ἐκ τῶν αὐτῶν.

ΠΡΩ. Ὀρθότατα[h] λέγεις.

ΣΩ. Πότερον οὖν ἐκ τούτου τοῦ[i] σώματος ὅλως τὸ παρ' ἡμῖν σῶμα ἢ ἐκ τοῦ παρ' ἡμῖν τοῦτο[j] τρέφεταί τε καὶ ὅσα νῦν δὴ περὶ αὐτῶν εἴπομεν,[k] εἴληφέ τε καὶ ἴσχει;[l] II. iii. 171.

[u] δαὶ Δ: δέ *ς.—[v] γὰρ ΧΔΠ: γ' ἂν *ς.—[w] οἶμαι om F.—[x] πάντων add ΧΔΠ.—[y] ἠρώτησα πέρι rc Σ.—[z] ὀλίγων pr Γ.—[a] ἔμπροσθεν om Λ.—[b] ἀποκρινεῖ pr Γ.—[c] τί Δ.—[d] ἐπωνομάσωμεν H, ἐπονομάσωμεν Λ.—[e] λαβὲ Δ: λάβε *ς.—[f] αὐτὸν γὰρ τὸν H.—[g] ὂν om Λ.—[h] ὀρθότατον ς.—[i] τοῦ om Λ.—[j] ὑμῖν τοῦτο C.—[k] εἴπωμεν Ξ.

enim, *vel contra, et meus, et tuus, et animantium reliquorum, omnis ab illo.* Fisch.

ἅπαντ' ἴσχει ταῦτα] Ea Ficinus non intellexisse videtur, utpote in ejus versione non expressa. Supplendum ex antecedentibus τὸ τρέφεσθαι καὶ γίγνεσθαι καὶ ἄρχεσθαι. Stalb.

ταὐτά γ' ἂν ἐρεῖς] Ita vett. editt. unanimi consensu. Sed quanquam ἂν cum futuro junctum nihil habet insolentiæ. cfr. Gregor. Corinth. p. 66. et Matth. Gr. Gr. p. 880. nec quidquam frequentius particula γε sequente ἄν. cfr. Hermann. ad Viger. p. 825. tamen totius loci ratio hanc lectionem respuit. Quare Bekk. ex Eusebio, opinor, ταὐτὰ γὰρ ἐρεῖς recepit. Mei si res arbitrii esset, reponerem ταὐτὰ δέ γ' ἂν ἐρεῖς ctr. Nam 'ubi persona secunda prioris sententiam auget aut corrigit, post δὲ, modo interposito, modo non interposito alio verbo sequitur particula γε.' Porson. ad Eurip. Orest. 1234. Stalb.

§. 54. ταὐτὸν δὴ λαβὲ—ὃν κόσμον λέγομεν] *Quemadmodum quatuor illa elementa in unum conjuncta, animalium corpora constituunt, ita ea etiam universum mundum efficiunt, ut adeo hic quoque corporis nomine recte appelletur.* De constructione ὃν κόσμον λέγομεν cfr. Heind. ad Phædr. p. 279. Stalb.

ὀρθότατον] Fo. ὀρθότατα. Steph. Recte, opinor. Fisch.

ὀρθότατα] Bekk. secutus, linguæ consuetudine postulante, ex Eusebio restitui ὀρθότατα pro ὀρθότατον. Apud eundem Euseb. mox pro ὅλως legitur ὅλου et ἐπείπομεν pro εἴπομεν. Stalb.

εἴληφέ τε καὶ ἔχει] Bekk. habet εἴληφέ τε καὶ ἴσχει. Vulgatam satis tuetur Cratyli locus p. 393. A. κρατεῖ τε καὶ αὐτοῦ καὶ κέκτηται καὶ ἔχει αὐτὸ, ubi ἔχει propterea mutari nequit, quia Hectoris nomen inde derivatur. Stalb.

Digitized by Google

§. 53. ΣΩ. Ὅτι σμικρόν[l] τε τούτων ἕκαστον παρ' ἡμῖν[m] ἔνεστι[n] καὶ[o] φαῦλον καὶ οὐδαμῇ οὐδαμῶς εἰλικρινὲς ὂν καὶ τὴν δύναμιν οὐκ ἀξίαν τῆς φύσεως ἔχον. ἐν ἑνὶ δὲ λαβὼν[p] περὶ πάντων νόει ταὐτόν. οἷον πῦρ ἔστι μέν[q] που παρ' ἡμῖν, ἔστι δ' ἐν τῷ παντί.

ΠΡΩ. Τί μήν;[r]

II. iii. 170. ΣΩ. Οὐκοῦν σμικρὸν μέν τι[s] τὸ παρ' ἡμῖν καὶ ἀσθενὲς[t] καὶ φαῦλον, τὸ δ' ἐν τῷ παντὶ πλήθει τε θαυμαστὸν καὶ κάλλει καὶ πάσῃ δυνάμει τῇ περὶ τὸ πῦρ οὔσῃ.

ΠΡΩ. Καὶ μάλα ἀληθῆ[u] ἃ λέγεις.

ΣΩ. Τί δαί;[u] τρέφεται καὶ γίγνεται ἐκ τούτου καὶ ἄρχεται τὸ τοῦ παντὸς πῦρ ὑπὸ τοῦ παρ' ἡμῖν πυρός, ἢ τοὐναντίον ὑπ' ἐκείνου τό τ' ἐμὸν καὶ τὸ σὸν καὶ τὸ τῶν ἄλλων ζώων ἅπαντ' ἴσχει ταῦτα;

Α.—[m] παρ' ἡμῖν om F.—[n] ἔν ἐστι CHw.—[o] καὶ ante φαῦλον om Σw.—[p] λαβὸν A. τί μὴν —[q] μέν ἐστι ΑΔΠ.—[r] πλήθει E: τί...παντὶ om F.—[s] τοι ΛΞ.—[t] ἀσφαλὲς C.—

Viger. p. 705. Sed omissi etiam articuli exempla haudquaquam rara. cfr. infra p. 33. B. Politic. 263. D. 264. A. 291. B. de Republ. iv. p. 425. A. vii. 530. E. Scilicet τοῖον dicitur, si articulus additus legitur nomini, ad quod interrogatio pertinet; sin minus, τὸ τοῖον usurpatur. Stalb.

§. 53. σμικρόν τι—παρ' ἡμῖν] Opponuntur hic τὰ ἐν τῷ παντὶ στοιχεῖα τοῖς παρ' ἡμῖν, ita quidem ut illa his longe præstantiora esse dicantur. Quippe corporis nostri elementa sunt nonnisi particulæ quædam ex universi mundi igne, aqua, aere, terra decerptæ, adeoque ab his sustentantur atque aluntur. cfr. Tim. p. 41. A. ubi creator mundi dæmonibus homines creare imperat. Locus longior, quam qui huc transscribi possit. Pertinet etiam huc fragmentum Hermetis apud Stob. Eclog. Phys. t. ii. p. 746. εἰκότως οὖν κατὰ τὸν ὀρθὸν λόγον ἐκεῖνα μὲν τὰ σώματα, ὡς ἐξ ἀσωμάτου οὐσίας γεγεννημένα, ἀθάνατά ἐστι· τὰ δὲ ἡμέτερα διαλυτὰ καὶ θνητά, ὡς τῆς ὕλης ἡμῶν ἐκ σωμάτων συνεστώσης, διὰ τὸ ἀσθενῆ εἶναι καὶ πολλῆς ἐπικουρίας δεόμενα. Πῶς γὰρ ἂν καὶ τὸ τυχὸν ἀντέσχεν ὁ σύνδεσμος ἡμῶν τῶν σωμάτων, εἰ μή τινα εἶχεν ἐπεισερχομένην τροφὴν ἐκ τῶν ὁμοίων στοιχείων καὶ ὑπερσωμάτου ἡμᾶς καθ' ἡμέραν; καὶ γὰρ γῆς τε καὶ ὕδατος καὶ πυρὸς καὶ ἀέρος ἐπιῤῥοὴ ἡμῖν γίγνεται, ἥτις τὰ σώματα ἡμῶν νεοποιοῦσα συνέχει τὸ σκῆνος ctr. Pro σμικρόν τι, quod ex Eusebio reposui, vulgo σμικρόν τε. Offendunt dein παρ' ἡμῖν ἔνεστι. Nam aliud est, quod paullo post sequitur ἔστι μέν που παρ' ἡμῖν. Vide an scribendum sit ἕκαστον παρ' ἡμῖν ἔνεστι. Stalb.

εἰλικρινὲς] *Integrum, nihil in se dispar sui admixtum habens, omni aliena materia carens*, uti explicant Hesych. et Etymol. M. Stalb.

σμικρὸν μέν τι] Rem illustrat ignis exemplo, qui quum in rerum universitate plurimus, pulcherrimus, denique præstantissimus fluat, in hominum corporibus adeo parvus, mancus, imbecillis insit, ut hæc ab universo non possint non ali atque sustentari. Tim. p. 31. B. σωματοειδὲς δὴ καὶ ὁρατὸν ἁπάντων τε δεῖ τὸ γενόμενον εἶναι. χωρισθὲν δέ τε πυρὸς οὐδὲν ἂν ποτε ὁρατὸν γένοιτο· οὐδὲ ἁπτόν, ἄνευ τινὸς στερεοῦ· στερεὸν δὲ, οὐκ ἄνευ γῆς. ὅθεν ἐκ πυρὸς καὶ γῆς τὸ τοῦ παντὸς ἀρχόμενος συνιστάναι σῶμα ὁ θεὸς ἐτεκτήνατο. cfr. Aristotel. de Anima ii. 36.—Pro σμικρὸν μέν τι in Bas. 2. σμικρὸν μέν τοι. Male. Stalb.

ἅπαντ' ἴσχει ταῦτα] Hæc verba Ficinus in versione non expressit; vertit

Digitized by Google

ΠΡΩ. Τοῦτο μὲν οὐδ' ἀποκρίσεως ἄξιον ἐρωτᾷς.

ΣΩ. Ὀρθῶς· ταὐτὰ γὰρ[v] ἐρεῖς, οἶμαι,[w] περί τε τῆς ἐν τοῖς ζώοις γῆς τῆς ἐνθάδε καὶ τῆς ἐν τῷ παντί, καὶ τῶν ἄλλων δὴ πάντων[x] ὅσων ἠρώτησα[y] ὀλίγον[z] ἔμπροσθεν,[a] οὕτως ἀποκρινεῖ.[b]

ΠΡΩ. Τίς[c] γὰρ ἀποκρινόμενος ἄλλως ὑγιαίνων ἄν ποτὲ φανείη;

§. 54. ΣΩ. Σχεδὸν οὐδ' ὁστισοῦν. ἀλλὰ τὸ μετὰ τοῦτο ἔξῆς ἕπου. πάντα γὰρ ἡμεῖς ταῦτα τὰ νῦν δὴ λεχθέντα ἆρ' οὐκ εἰς ἓν συγκείμενα ἰδόντες ἐπωνομάσαμεν[d] σῶμα;

ΠΡΩ. Τί μήν;

ΣΩ. Ταὐτὸν δὴ λαβὲ[e] καὶ περὶ τοῦδε ὃν κόσμον λέγομεν. διὰ τὸν αὐτὸν[f] γὰρ τρόπον ἂν εἴη που σῶμα, σύνθετον ὂν[g] ἐκ τῶν αὐτῶν.

ΠΡΩ. Ὀρθότατα[h] λέγεις.

ΣΩ. Πότερον οὖν ἐκ τούτου τοῦ[i] σώματος ὅλως τὸ παρ' ἡμῖν σῶμα ἢ ἐκ τοῦ παρ' ἡμῖν τοῦτο[j] τρέφεταί τε καὶ ὅσα νῦν δὴ περὶ αὐτῶν εἴπομεν,[k] εἴληφέ τε καὶ ἴσχει;[l] II. iii. 171.

[a] δαὶ Δ : δέ *s.—[v] γὰρ ΧΔΠ : γ' ἂν *s.—[w] οἶμαι om F.—[x] πάντων add ΧΔΠ.—[y] ἠρώτησα πέρι rc Σ.—[z] ὀλίγων pr Γ.—[a] ἔμπροσθεν om Λ.—[b] ἀποκρινεῖ pr Γ.—[c] τί Δ.—[d] ἐπωνομάσωμεν H, ἐπονομάσωμεν Λ.—[e] λαβὲ Δ : λάβε *s.—[f] αὐτὸν γὰρ τὸν H.—[g] ὂν om Λ.—[h] ὀρθότατον s.—[i] τοῦ om Λ.—[j] ὑμῖν τοῦτο C.—[k] εἴπωμεν H.

enim, *vel contra, et meus, et tuus, et animantium reliquorum, omnis ab illo.* Fisch.

ἅπαντ' ἴσχει ταῦτα] Ea Ficinus non intellexisse videtur, utpote in ejus versione non expressa. Supplendum ex antecedentibus *τὸ τρέφεσθαι καὶ γίγνεσθαι καὶ ἔρχεσθαι.* Stalb.

ταὐτά γ' ἂν ἐρεῖς] Ita vett. editt. unanimi consensu. Sed quanquam ἄν cum futuro junctum nihil habet insolentiæ. cfr. Gregor. Corinth. p. 66. et Matth. Gr. Gr. p. 880. nec quidquam frequentius particula γε sequente ἄν. cfr. Hermann. ad Viger. p. 825. tamen totius loci ratio hanc lectionem respuit. Quare Bekk. ex Eusebio, opinor, *ταὐτὰ γὰρ ἐρεῖς* recepit. Mei si res arbitrii esset, reponerem *ταὐτὰ δέ γ' ἂν ἐρεῖς* ctr. Nam ' ubi persona secunda prioris sententiam auget aut corrigit, post δὲ, modo interposito, modo non interposito alio verbo sequitur particula γε.' Porson. ad Eurip. Orest. 1234. Stalb.

§. 54. *ταὐτὸν δὴ λαβὲ—ὃν κόσμον λέγομεν*] *Quemadmodum quatuor illa elementa in unum conjuncta, animalium corpora constituunt, ita ea etiam universum mundum efficiunt, ut adeo hic quoque corporis nomine recte appelletur.* De constructione *ὃν κόσμον λέγομεν* cfr. Heind. ad Phædr. p. 279. Stalb.

ὀρθότατον] Fo. *ὀρθότατα.* Steph. Recte, opinor. Fisch.

ὀρθότατα] Bekk. secutus, linguæ consuetudine postulante, ex Eusebio restitui *ὀρθότατα* pro *ὀρθότατον.* Apud eundem Euseb. mox pro ὅλως legitur ὅλου et *ἐπείπομεν* pro *εἴπομεν.* Stalb.

εἴληφέ τε καὶ ἴσχει] Bekk. habet *εἴληφέ τε καὶ ἴσχει.* Vulgatam satis tuetur Cratyli locus p. 393. A. *κρατεῖ τε καὶ αὐτοῦ καὶ κέκτηται καὶ ἴσχει αὐτὸ*, ubi *ἴσχει* propterea mutari nequit, quia Hectoris nomen inde derivatur. Stalb.

Digitized by Google

ΠΡΩ. Καὶ τοῦθ' ἕτερον, ὦ Σώκρατες, οὐκ ἄξιον ἐρωτήσεως;

p. 30. ΣΩ. Τί δαί;[m] τόδε ἆρ' ἄξιον; ἢ πῶς ἐρεῖς;

ΠΡΩ. Λέγε τὸ ποῖον.

ΣΩ. Τὸ παρ' ἡμῖν σῶμα ἆρ' οὐ ψυχὴν φήσομεν ἔχειν;

ΠΡΩ. Δῆλον ὅτι φήσομεν.

ΣΩ. Πόθεν, ὦ φίλε Πρώταρχε, λαβόν,[n] εἴ περ μὴ τό γε τοῦ παντὸς σῶμα ἔμψυχον ὂν[o] ἐτύγχανε, ταὐτά γε ἔχον τούτῳ καὶ ἔτι πάντη[p] καλλίονα;

ΠΡΩ. Δῆλον ὡς οὐδαμόθεν ἄλλοθεν, ὦ Σώκρατες.

§. 55. ΣΩ. Οὐ γάρ που[q] δοκοῦμέν γε, ὦ Πρώταρχε,

—[l] ἴσχει ΑΔΠ: ἔχει [e]σ.—[m] δαὶ Δ: δὲ [e]σ. ἆρ' Γ, ἀρ' οὐκ F.—[n] λαβὸν Λ.—[o] ὂν

τόδε ἆρα ἄξιον] Apud Euseb. additur ἐρωτήσεως, quod, utpote e prægressis facile supplendum, equidem nolui in textum recipere. Stalb.

§. 54. τὸ παρ' ἡμῖν σῶμα ἆρ' οὐ ψυχὴν φήσομεν ἔχειν;] Mirifice cum his consentit Socrates apud Xenoph. Memor. i. 4. 8. σὺ δὲ σαυτὸν φρόνιμόν τι δοκεῖς ἔχειν, ἄλλοθι δὲ οὐδαμοῦ οὐδὲν οἴει φρόνιμον εἶναι; καὶ ταῦτα, εἰδὼς, ὅτι γῆς τε μικρὸν μέρος ἐν τῷ σώματι πολλῆς οὔσης ἔχεις, καὶ ὑγροῦ βραχὺ πολλοῦ ὄντος, καὶ τῶν ἄλλων δήπου μεγάλων ὄντων ἑκάστου μικρὸν μέρος λαβόντι τὸ σῶμα συνήρμοσταί σοι· νοῦν δ' ἆρα μόνον οὐδαμοῦ ὄντα σε εὐτυχῶς πως δοκεῖς συναρπάσαι, καὶ τάδε τὰ ὑπερμεγέθη καὶ πλῆθος ἄπειρα δι' ἀφροσύνην τινα οὕτως οἴει εὐτάκτως ἔχειν; Cicer. de Nat. Deor. ii. 6. sq. ibid. iii. 11. 'At enim quærit apud Xenophontem Socrates, unde animum arripuerimus, si nullus fuerit in mundo.' M. Antonin. iv. 4. Senec. Epist. 69. Procli theolog. Platon. p. 92. Stalb.

πόθεν—λαβόν;] Sc. ἔχει. Phædon. p. 74. B. ἢ καὶ ἐπιστάμεθα αὐτὸ, ὃ ἔστι; Πάνυ γε, ἦ δ' ὅς. Πόθεν λαβόντες αὐτοῦ τὴν ἐπιστήμην; sc. ἐπιστάμεθα αὐτό. Stalb.

καὶ ἔτι καλλίονα] Euseb. καὶ ἔτι πάντη καλλίονα, quod recepit Bekk.—οὐδαμόθεν ἄλλοθεν sc. ἢ ἀπὸ τῆς τοῦ παντὸς ψυχῆς. Stalb.

§. 55. οὐ γάρ που δοκοῦμεν κ.τ.λ.] Fic. vertit: *Neque enim existimandum, quatuor illa, terminum, infinitum, mixtum et causæ genus, in iis quartum cunctis existens, quod iis quidem, quæ apud nos sunt, animum corpusque præbet, dum imprimit umbram labefactoque corpore remedia parat et in aliis alia constituit atque restituit omnem atque integram vocitari.* Quibus profecto nihil obscurius, nihil absurdius dici potuerit. Ante omnia autem offendere debet istud *imprimit umbram*. Scilicet fluxit hoc e lectione vett. editt. omnium σῶμα σκίαν, quam ex Eusebio et Bekk. in σωματοειδίαν mutavimus. Nam Fischerum quidem, corpus propterea σκίαν ἐμποιοῦν dici opinatum, quia e partibus compositum sit, nemo, opinor, præter Huelsemannum audiet. Facile etiam supersedebimus Sydenhami correctione, pro σκίαν reponendum arbitrati σκῆνος; quod significaret *corpus, quatenus in eo animus habitat*, ut apud Tim. Locr. v. 10. et Ocell. Lucan. in Stobæi Ecl. Phys. c. 16. Æschin. Socrat. iii. 5. Sed alio etiam malo locus affectus est. Quid enim? qui tandem verba ἐπικαλεῖσθαι σοφίαν ad quatuor illa genera, quæ hic denuo recensentur, referuntur, quum nonnisi de caussæ genere h. e. de ratione et sapientia, sermo esse debeat? Etenim manifestum est, Socratem hic demonstrare, non esse consentaneum, quum id, quod nostrum corpus regat, ratio sit ac sapientia, non eandem quoque magno illi corpori præficere, quod mundum nominemus. Jam finge, scriptum esse: οὐ γάρ που δοκοῦμέν γε, ὄντων τεττάρων ἐκείνων, πέρατος καὶ ἀπείρου καὶ μικτοῦ καὶ τοῦ τῆς αἰτίας γένους, ἐν ἅπασι τετάρτου ὄντος, τοῦτο, ἐν μὲν—πᾶσιν καὶ πασῶν σοφίαν ἐπικαλεῖσθαι, et nihil erit, quod offensionem habeat. Eadem

Digitized by Google

τὰ τέτταρ'[r] ἐκεῖνα, πέρας[s] καὶ ἄπειρον καὶ κοινὸν καὶ τὸ τῆς αἰτίας γένος, ἓν ἅπασι τέταρτον ἑνόν ταῦτα ἐν μὲν τοῖς παρ' ἡμῖν ψυχήν τε παρέχον καὶ σωμασκίαν[t] ἐμποιοῦν καὶ πταίσαντος σώματος ἰατρικὴν καὶ ἐν ἄλλοις ἄλλα συντιθὲν[u] καὶ ἀκούμενον[v] πᾶσαν καὶ παντοίαν σοφίαν ἐπικαλεῖσθαι, τῶν δ' αὐτῶν τούτων[w] ὄντων ἐν ὅλῳ τε οὐρανῷ καὶ κατὰ μεγάλα μέρη, καὶ προσέτι καλῶν καὶ εἰλικρινῶν, ἐν τούτοις δ' οὐκ ἄρα[x] μεμηχανῆσθαι τὴν[y] τῶν καλλίστων καὶ τιμιωτάτων φύσιν. II. iii. 172.

ΧΔΠ.—[p] πάντη add ΧΓΔΠ.—[q] πω Γ.—[r] τέτταρ' Γ.—[s] πέρας om ΧΠ, in mg ponit Δ.—[t] σῶμα σκιὰν ς.—[u] συντεθὲν ΓΛΗΒCΕΡΗω.—[v] ἀκούμενον BCHω.—[w] πάντων

prorsus constructio in opposita enuntiatione: *τῶν δ' αὐτῶν τούτων ὄντων ἐν ὅλῳ τε οὐρανῷ* ctr. Vides jam, ubi lateat ulcus. Scribendum sine dubio: *οὐ γάρ που δοκοῦμέν γε, ὦ Πρ. ὄντα τέτταρα ἐκεῖνα—, τοῦτο—σοφίαν ἐπικαλεῖσθαι.* Ὄντα facile in τὰ mutari potuit ab librariis, qui constructionis rationem non perspicerent, de qua cfr. Matth. Gr. Gr. §. 562. Hoc vero *τέταρτον* h. e. *causa* nobis *ψυχὴν* præbet h. e. *animam largitur*, et *σωμασκίαν*, h. e. *corporis, si bene illud constitutum sit, exercendi artem efficit*, et *ἰατρικὴν* h. e. *corporis, si morbo laboret, sanandi viam monstrat*, hoc est omnino: *vitam et largitur et tuetur*. Malim tamen perspicuitatis causa cum Schützio corrigere *ψυχή τε παρέχον καὶ σῶμα, καὶ σωμασκίαν ἐμποιοῦν κ. τ. λ.* Duplicem autem corporis servandi atque tuendi viam ideo significat, quia gymnastica ars ad prosperam valetudinem, medica autem ad turbatam pertinet. Hinc *νόσος* et *σωμασκία* opponuntur apud Xenoph. Memor. iii. 9. 11. *ὁπότε γάρ τις ὁμολογήσειε τοῦ μὲν ἄρχοντος εἶναι τὸ προστάττειν, ὅ τι χρὴ ποιεῖν, τοῦ δὲ ἀρχομένου τὸ πείθεσθαι, ἐπεδείκνυεν, ἔν τε νηῒ τὸν μὲν ἐπιστάμενον ἄρχοντα, τὸν δὲ ναύκληρον καὶ τοὺς ἄλλους τοὺς ἐν τῇ νηῒ πάντας πειθομένους τῷ ἐπισταμένῳ—καὶ ἐν νόσῳ τοὺς νοσοῦντας· καὶ ἐν σωμασκίᾳ τοὺς σωμασκοῦντας καὶ τοὺς ἄλλους πάντας* ctr. et *γυμναστικὸς* atque *ἰατρὸς* frequenter junguntur, ut Protag. p. 313. D. *οὐκ ἴσασιν, ὅτι χρηστὸν ἢ πονηρὸν περὶ τὸ σῶμα—ἐὰν μή τις τύχῃ γυμναστικὸς ἢ ἰατρὸς ὤν.* Stalb.

§. 55. *σῶμα σκιὰν*] Steph. 'Legendum puto *σωμασκίαν* una voce. Ficius tamen alterum lectionem sequitur.' recte. vertit enim, *animam corpusque præbet, dum imprimit umbram*. Sed quum sic nullum existere sensum commodum videret Cornar. pro *σκιὰν* reponendum censuit *ὑγείαν sanitatem inducens*. At quid sit *σῶμα ὑγείαν ἐμποιοῦν*, non reperio. Et quum *σῶμα*, ut reliqui accusativi *ψυχὴν* et *ἰατρικὴν*, a participio *παρέχον* pendeat: Stephani quoque conjecturam vanam esse apparet. Ego quidem locum integrum esse puto, ita, ut verba *καὶ σῶμα* cohæreant cum verbis *ψυχήν τε*, atque adeo regantur, uti diximus, a verbo *παρέχων*, sed verba *σκιὰν ἐμποιοῦν* conjungantur cum nomine *σῶμα*. Nam *σῶμα* dici potest *σκιὰν ἐμποιοῦν*, quatenus est compositum. Fisch.

συντιθὲν] Ald. Bas. 1. 2. *συντεθέν*, male. nam res ipsa et constructio verborum requirunt activum, quod, ut *παρέχον*, referatur ad verba *τέταρτον ἑνὸν τοῦτο*. Fisch.

ἀκούμενον] De verbo *ἀκεῖσθαι, de quovis remedio, quo damnum vel incommodum aliquod levatur aut tollitur* cfr. infr. §. 127. Valckenar. in Observat. Academ. de Analog. Ling. Gr. p. 73. Wessel. ad Herodot. v. 91. Stalb.

ἐν ὅλῳ δ' οὐρανῷ] *In tota rerum universitate*. Tim. p. 28. B. *ὁ δὴ πᾶς οὐρανὸς ἢ κόσμος ἢ καὶ ἄλλο, ὅ τι ποτὲ ὀνομαζόμενος μάλιστ' ἂν δέχοιτο, τοῦθ' ἡμῖν ὠνομάσθω*, ibid. p. 36. E. p. 34. B. p. 48. E. p. 92. C. Plin. H. N. i. in. 'Mundum et hoc quod nomine alio cœlum appellare libuit, cujus circumflexu teguntur omnia.' cfr. Menag. ad Diog. Laert. vii. §. 138. Stalb.

Digitized by Google

ΠΡΩ. Ἀλλ' οὐδαμῶς τοῦτό γ' ἂν λόγον ἔχοι.

§. 56. ΣΩ. Οὐκοῦν εἰ μὴ τοῦτο, μετ' ἐκείνου τοῦ λόγου ἂν[z] ἑπόμενοι βέλτιον λέγοιμεν, ὡς ἔστιν, ἃ πολλάκις εἰρήκαμεν, ἄπειρόν τε ἐν τῷ παντὶ πολὺ καὶ πέρας ἱκανόν, καί τις ἐπ' αὐτοῖς αἰτία οὐ φαύλη, κοσμοῦσά τε καὶ συντάττουσα ἐνιαυτούς τε καὶ ὥρας καὶ μῆνας, σοφία καὶ νοῦς λεγομένη δικαιότατ' ἄν.

ΠΡΩ. Δικαιότατα δῆτα.

ΣΩ. Σοφία μὴν[a] καὶ νοῦς ἄνευ ψυχῆς οὐκ ἄν ποτε γενοίσθην.

ΠΡΩ. Οὐ γὰρ οὖν.

ΣΩ. Οὐκοῦν[b] ἐν μὲν τῇ τοῦ Διὸς ἐρεῖς φύσει βασιλικὴν μὲν ψυχήν, βασιλικὸν δὲ νοῦν ἐγγίγνεσθαι[c] διὰ τὴν τῆς αἰτίας δύναμιν, ἐν δὲ ἄλλοις ἄλλα καλά, καθότι[d] φίλον ἑκάστοις λέγεσθαι.

EF.—[x] ἄρ' οὐ Γ.—[y] διὰ ΧΔ et pr Π, qui re διὰ τὴν.—[z] ἂν om F.—[a] μὲν F.—[b] οὐκ οὖν Δ, ut sæpe.—[c] ἐγγενέσθαι Λ.—[d] καθὸ ΧΔ et pr Π.—[e] δὲ w.—[f] γένοιτ

δὲ—ἄρα] De particula cum efficacia quadam repetita cfr. Alcibiad. i. p. 109. A. Phædr. p. 277. E. Phædon. p. 84. B. Apolog. Socrat. p. 37. D. Protagor. p. 325. C. Menon. p. 91. D. Phædon. p. 68. A. ubi vid. Heind. Isocrat. Areopagit. p. 215. id. Panegyr. p. 55. ed. Mor. ubi errat editor. STALB.

τὴν τῶν καλλίστων καὶ τιμιωτάτων φύσιν] I. e. *τὰ κάλλιστα καὶ τιμιώτατα*, ut Sympos. p. 186. B. *ἡ φύσις σωμάτων*, ubi paullo post *ἐν τοῖς σώμασι* dicitur. Phædr. p. 251. B. *ἡ τοῦ πτέρου φύσις*. Cratyl. p. 400. A. *τὴν φύσιν τοῦ σώματος, ὅστε καὶ ζῆν καὶ περιέναι, τί σοι δοκεῖ ἔχειν*; de Legg. ix. p. 269. B. Tim. 50. E. cfr. Fischer. ad Weller. t. iii. i. p. 287. Cic. de Fin. v. 11. 'hoc intelligant, si quando naturam hominis dicam, hominem dicere me; nihil enim hoc differt.' de Nat. Deor. ii. 54. 'quum alvi natura subjecta stomacho cibi et potionis sit receptaculum,' ubi alvi natura i. q. alvus. cfr. Ernesti clav. Cic. s. h. v. Lucret. v. 158. 'mundi natura.' Intelligitur autem h. l. *σοφία* s. *νοῦς*. STALB.

§. 56. *μετ' ἐκείνου τοῦ λόγου*] Constructionem *μετ' ἐκείνου τοῦ λόγου ἑπόμενοι* illustrarunt Gottleber. ad Menex. §. 2. Heind. ad Phædr. p. 262. Matth. Gr. Gr. §. 398. STALB.

ἃ πολλάκις] Ex Theodoreto restitui; vulgo ἃ πολλ. Apud eundem pro *ξυντάττουσα* legitur *ξυνάπτουσα*. Non omnino male. Sed quod ibidem ordo verborum sequentium hic est: *ἐνιαυτούς τε καὶ μῆνας καὶ ὥρας*, id nemini probatum iri spero, qui reputaverit, *ὥρας* esse anni *tempora*, ut sexcenties. Vid. Valcken. ad Eurip. Phœn. 793. Sensum verborum subtiliter explicuit Tennemann. in *System der Platon. Philosophie* t. iii. p. 139. STALB.

σοφία μὴν καὶ νοῦς] Tim. p. 30. B. *νοῦν δ' αὖ χωρὶς ψυχῆς ἀδύνατον παραγενέσθαι τῳ. Διὰ δὴ τὸν λογισμὸν τόνδε νοῦν μὲν ἐν ψυχῇ, ψυχὴν δ' ἐν σώματι συνιστὰς τὸ πᾶν ξυνετεκταίνετο, ὅπως ὅτι κάλλιστον εἴη κατὰ φύσιν ἥριστόν τε ἔργον ἀπειργασμένος. Οὕτως οὖν δὴ κατὰ λόγον τὸν εἰκότα δεῖ λέγειν, τόνδε τὸν κόσμον ζῷον ἔμψυχον ἔννουν τε τῇ ἀληθείᾳ διὰ τὴν τοῦ θεοῦ γενέσθαι πρόνοιαν.* STALB.

τοῦ Διὸς φύσει—δύναμιν] Phædr. p. 252. C. *οἱ μὲν δὴ Διὸς* (ὄχημα sc.) *ἄξιόν τινα ζητοῦσι, τὴν ψυχὴν τὸν ὑφ' αὑτῶν ἡρέμονον σκοποῦσιν οὖν, οἱ φιλόσοφός τε καὶ ἡγεμονικὸς τὴν φύσιν.* ibid. p. 247. A. cfr. quæ ad §. 50. laudavi loca. STALB.

ἐν δὲ ἄλλοις ἄλλα καλὰ] Hæreo ali-

Digitized by Google

ΠΡΩ. Μάλα γε.

§. 57. ΣΩ. Τοῦτον δὴ[e] τὸν λόγον ἡμᾶς μή τι μάτην δόξῃς, ὦ Πρώταρχε, εἰρηκέναι, ἀλλ' ἔστι τοῖς μὲν πάλαι ἀποφηναμένοις ὡς ἀεὶ τοῦ παντὸς νοῦς ἄρχει ξύμμαχος ἐκείνοις.

ΠΡΩ. Ἔστι γὰρ οὖν.

ΣΩ. Τῇ δέ γε ἐμῇ ζητήσει πεπορικὼς ἀπόκρισιν, ὅτι νοῦς ἐστὶ γένους[f] τοῦ πάντων αἰτίου λεχθέντος τῶν τεττάρων, ὃν[g] ἦν[h] ἡμῖν ἓν τοῦτο. ἔχεις γὰρ δή που νῦν ἡμῶν ἤδη τὴν ἀπόκρισιν. II. iii. 173.

ΠΡΩ. Ἔχω καὶ μάλ'[i] ἱκανῶς· καί τοί[j] με ἀποκρινάμενος[k] ἔλαθες.

τῆς ΑΔ, γενούστης corr Π cum [e]s.—[f] ὧν om ΑΠ et pr Δ.—[h] ἦν om ΛΞω.—[i] μάλ' εἰ Γ.—[j] καίτι F.—[k] ἀποκρινόμενος Λ.—[l] ὃ πράταρχε τῆς στουδῆς ΑΓΔΛΠΣΒCΗ:

quantulum. Ἄλλοις non posse pro neutro haberi, satis apparet ex addita formula *καθότι φίλον ἑκάστοις* de qua cfr. de Republ. iii. 13. Legg. p. 821. B. p. 866. D. Apolog. Socr. p. 75. Criton. p. 174. Itaque nihil superest, quam ut suppleamus *θεοῖς*, quod ex nomine Jovis eruendum. Aliud hujusmodi exemplum non in promtu habeo.—Mox notabis pronomen *ἐκείνοις* post *τοῖς μὲν πάλαι ἀποφηναμένοις* illatum, et rursus intelliges Anaxagoram. STALB.

§. 57. *τῇ δέ γ' ἐμῇ ζητήσει κ. τ. λ.*] Respicitur ad verba supra §. 48. lecta: *φρόνησιν δὲ καὶ ἐπιστήμην καὶ νοῦν εἰς τί ποτε τῶν προειρημένων νῦν θέντες οὐκ ἂν ἀσεβοῖμεν*; STALB.

γενούστης] Mira est forma vocabuli *γενούστης*, quod aliorum vocabulorum analogia nemo quisquam firmabit. Nihilominus jam vett. Scholiastæ et Grammatici illud legerunt. Hesych. *Γενούστης· ἐπὶ τοῦ θεοῦ ἐνιολας* (leg. *ἐπὶ τῆς τοῦ θεοῦ*) *ὁ γεννητικὸς*, ubi vid. Alberti. Etymol. M. *Γενούστης παρὰ Πλάτωνι ἐν Φιλήβῳ ἐπὶ τῆς τοῦ θεοῦ ἐννολας, οἷον ὁ γεννητικός.* Bekker. Anecdot. t. i. p. 231. *Γενούστης παρὰ Πλάτωνι ἐν Φιλήβῳ ἐπὶ τῆς τοῦ θεοῦ ἐννοίας, οἷον ὁ γεννητικός.* Suidas: *Γενούστης· οἷον γεννήτης ἢ συγγενὴς ἢ ἔγγονος· τὸ τελευταῖον ἐκδέχεσθαι ἄμεινον.* Schol. ad h. l. *γενούστης· ὁ οἷον γεννήτης, ἢ συγγενὴς ἢ ἔγγονος, ὃν τὸ τελευταῖον ἐκδέχεσθαι ἄμεινον· ἢ ὁ οἷον γεννητικός. Γεννῆται δὲ, οὐχ οἱ ἐκ γένους καὶ ἀφ' αἵματος προσήκοντες, ἀλλ' οἱ ἐκ τῶν γενῶν τῶν συννενεμημένων εἰς τὰς φρατρίας· οὗτοι δέ εἰσι, καθάπερ οἱ δημόται καὶ φράτορες, νόμῳ τινὶ ἔχοντες κοινωνίαν. Τὸ δὲ γένος ἔχει ἄνδρας λ'. αἱ δὲ φρατρίαι ἐκαλοῦντο τριττύς, ὅτι τεσσάρων φυλῶν οὐσῶν εἰς τρία ἑκάστην διεῖλον μέρη. τὰς μὲν φυλὰς δ' κατὰ τὰς ὥρας τοῦ ἐνιαυτοῦ τὰς δὲ φρατρίας καὶ τριττύας δύο καὶ δέκα, οἷον μῆνας· τὰ δὲ γένη λ' ἐν ἑκάστῃ φρατρίᾳ καθάπερ ἡμέρας τξ'. δώδεκα γὰρ λ', τξ'.* Etiam Olympiodorus *γενούστης* legit, quippe diserte hoc vocabulum *καινοτέραν λέξιν* vocans. In tanto horum testium de vulgatæ veritate consensu haud scio an non cum Schleiermach. et Bekk. corrigendum sit *ὅτι νοῦς ἐστι γένους τοῦ π. αἰτ. λ.* ctr. Sensus autem hic est: *intellectum jam est, Mentem esse tribulem τοῦ αἰτίου h. e. ad causæ genus pertinere.* STALB.

τῶν τεττάρων, ὃν ἦν ἡμῖν ἓν τοῦτο] Hæc si non inepta sunt, at languent saltem mirifice. Num fortasse olim sic legebatur *ὅτι νοῦς ἐστι γενούστης τοῦ πάντων αἰτίου λεχθέντος. Τῶν τεττάρων δ' ἦν ἡμῖν ἓν τοῦτο. Ἔχεις γὰρ* ctr.? STALB.

καίτοι με ἀποκρινάμενος ἔλαθες] Pessime Ficinus: *etsi quum antea responderis, me hactenus latuisti.* Vertere debebat: *me imprudente responsionem dedisti.* Nesciverat enim Protarchus, quo spectaret universa hæc Socratis disputatio; sed nunc postquam ea ad finem per-

Digitized by Google

ΣΩ. Ἀνάπαυλα γάρ, ὦ Πρώταρχε, τῆς σπουδῆς[l] γίγνεται ἐνίοτε ἡ παιδιά.

ΠΡΩ. Καλῶς[m] εἶπες.

§. 58. ΣΩ. Νοῦς[n] δή που,[o] ὦ ἑταῖρε, οὗ[p] μὲν[q] γένους[r]
II. 31. ἐστὶ καὶ τίνα ποτὲ δύναμιν κέκτηται, σχεδὸν ἐπιεικῶς ἡμῖν[s] τὰ νῦν[t] δεδήλωται.

ΠΡΩ. Πάνυ μὲν οὖν.

ΣΩ. Καὶ μὴν ἡδονῆς γε ὡσαύτως πάλαι τὸ γένος ἐφάνη.

ΠΡΩ. Καὶ μάλα.

ΣΩ. Μεμνώμεθα[u] δὴ καὶ ταῦτα περὶ ἀμφοῖν, ὅτι νοῦς μὲν αἰτίας ἦν ξυγγενὴς καὶ τούτου σχεδὸν τοῦ[v] γένους,

τῆς σπουδῆς δ πρώταρχε *s.—[m] καὶ καλῶς ΑΠ.—[n] νοῦν Γ, νῦν *s.—[o] νοῦς ΑΔ et fortasse pr Π.—[p] οὐ Λ.—[q] μὴν Η.—[r] γένος Λ.—[s] κέκτηται σχεδὸν ἐπιεικῶς ἡμῖν

ducta est, responsionem ad quæstionem supra propositam illa contineri intelligit. Recte vero habet aoristus ἀποκρινάμενος. Etenim in participiorum usu Græci hanc legem sibi sanciverant, ut ea illorum tempora ponerent, quibus, re per tempus finitum expressa, opus futurum fuisset. Phædon. p. 60. D. νὴ τὸν Δία, ἔφη, ὃ Σώκρατες, εὖ γε ἐποίησας, ἀναμνήσας με. ubi Heind. 'Nota aoristo ἐποίησας pro ἀναμιμνήσκων adjectum ἀναμνήσας.' Imo barbarum foret ἀναμιμνήσκων. Nam idem significatur, ac si scriptum esset: ἀνέμνησάς με καὶ εὖ γ' ἐποίησας. Prorsus ita de Legg. i. p. 626. D. τὸν γὰρ λόγον, ὃν ἀρχὴν ἀναγαγὼν, σαφέστερον ἐποίησας. Xenoph. Cyrop. i. 4. 13. καλῶς ἔφη ἐποίησας προειπών. Eurip. Hecub. in. Ἥκω νεκρῶν κευθμῶνα καὶ σκότου πύλας Λιπὼν i. e. ἔλιπον νεκρ. κευθμ. κ. σκ. π. καὶ ἥκω. Ac de verborum λανθάνειν et φθάνειν usu animadvertendum, præsenti tempori semper participium præsentis aut perfecti adjungi, aoristum vero ubique cum aoristo, nusquam cum præsente aut perfecto componi. Theætet. p. 163. E. ἡ τοῦτο δράσας ἀπελάθετο. ibid. p. 164. D. λανθάνομεν ταὐτὰ ἐκείνοις τοῖς δεινοῖς ἄνδρασι ποιοῦντες. de Republ. x. p. 606. C. καὶ ἐκεῖ νεανικὸν ποιήσας ἔλαθες. Xenoph. Cyr. iii. 1. 11. εἰρκτὰς αὐτῷ ἔλαθες προκατασκευάσας. ibid. iv. 2. 5. iv. 2. 7. Agesil. i. 1. Plat. de Republ. ii. p. 293. E. Soph. Trach. 575. Eurip. Iph. T. 245. Orest. 984. Troad. 456. Aristoph. Plut. 485. 685. 975. 1113. Eccles. 884. Theocrit. ii. 116. Scilicet hæc verba quum actionem indicent cum alia quadam necessario arctissime conjunctam, non possunt unquam ita usurpari, ut altero verbo, quod iis adjungitur, temporis diversitas aliqua contineatur. STALB.

γίγνεται] Ita Bas. 2. at Ald. γίνεται. —De παιδιᾷ opposita τῇ σπουδῇ cfr. Euthydem. p. 283. B. Gorg. p. 481. B. de Legg. vi. p. 771. Sympos. i. §. 1. et de voc. ἀνάπαυλα de Republ. vii. p. 532. E. ὥσπερ ὁδοῦ ἀνάπαυλα ἂν εἴη καὶ τέλος τῆς πορείας. de Legg. i. p. 625. B. καὶ ἀνάπαυλαι κατὰ τὴν ὁδὸν—ἐν τοῖς ὑφηλοῖς δένδρεσίν εἰσι σκιαραί. ii. p. 653. ἀναπαύλας τε αὐτοῖς τῶν πόνων ἐτάξαντο. iv. p. 722. C. Parmen. 137. B. Thucyd. ii. 38. τῶν πόνων πλείστας ἀναπαύλας τῇ γνώμῃ ἐπορισάμεθα. STALB.

§. 58. νοῦς δήπου] Sic dedi præeunte Bekk. Vulgo νῦν δήπου. Verum enim ita ægre desideratur subjecti notatio, quod ex antecedentibus repetere non modo longinquum foret, sed etiam ineptum. Namque verba καὶ μὴν ἡδονῆς κ. τ. λ. disertam ejus mentionem in hac periodo fieri flagitant. STALB.

σχεδὸν ἐπιεικῶς] I. e. ἱκανῶς. de Republ. x. p. 602. B. ταῦτα μὲν δὴ, ὅτι γε φαίνεται, ἐπιεικῶς ἡμῖν διωμολόγηται. Sed notus est hic vocula usus. STALB.

καὶ ταῦτα] Ne quem καὶ ante ταῦτα offendat, sensus hic est: præterquam quod supra mentem atque voluptatem unum et multa esse ostendimus, hoc quoque jam teneamus, illam ad caussarum genus, hanc vero ad infinitum pertinere. STALB.

Digitized by Google

ἡδονὴ δὲ ἄπειρός τε αὐτὴ[w] καὶ τοῦ μήτε ἀρχὴν μήτε μέσα μήτε τέλος ἐν ἑαυτῷ ἀφ' ἑαυτοῦ[x] ἔχοντος μηδὲ ἕξοντός ποτε γένους.

ΠΡΩ. Μεμνησόμεθα· πῶς γὰρ οὔ;

§. 59. ΣΩ. Δεῖ δὴ τὸ μετὰ τοῦτο, ἐν ᾧ τέ ἐστιν ἑκάτερον αὐτοῖν καὶ διὰ τί πάθος[y] γίγνεσθον, ὁπόταν γίγνησθον,[z] ἰδεῖν ἡμᾶς πρῶτον τὴν ἡδονήν, ὥς περ τὸ γένος αὐτῆς §. 17. F. II. iii. 174.

om F.—[t] τὰ νῦν ἡμῖν Σ.—[u] μεμνήμεθα w.—[v] τοῦ om ΛCHw.—[w] αὖτη Χ.—[x] ἐν ἑαυτῷ ἀφ' ἑαυτοῦ ΔΠw, ἐν αὐτῷ ἀφ' ἑαυτοῦ ΧΓΛΞΒCH : ἀφ' ἑαυτοῦ ἐν ἑαυτῷ [a]s.

—[y] πλῆθος ΧΔΠ.—[z] ὁπόταν γίγνησθον C, ὁπόταν γίγνοισθον Δ.—[a] δυνάμεθα E.—

§. 59. δεῖ δὴ τὸ μετὰ τοῦτο] Accingit se jam Socrates ad explorandam voluptatis et sapientiæ naturam. Stalb.

διὰ τί πάθος] Hülsemann. cujus versionem ad hunc usque diem nondum [mihi] contigit intelligere, hunc locum ita reddit: *Demnächst müssen wir untersuchen, worin jede von beiden Gattungen wohne? durch welche Seelenagitation sie entstehe? wenn sie entstehen?* De animi commotione hic non agitur; πάθος, πάσχειν omnino dici de iis, quæ alicui rei vel personæ accidunt aut propria sunt, hodie satis constat. De Legg. p. 893. γίγνεται δὴ πάντων γένεσις, ἡνίκα ἂν τί πάθος ᾖ; Phædon. p. 78. B. τῷ τοίῳ τινι ἄρα προσήκει, τοῦτο τὸ πάθος πάσχειν; cfr. P. Victor. ad Aristot. Rhet. i. 2. p. 29. Stalb.

ὁπόταν γίγνησθον] Tempus indefinitum judicat: *quandocunque oriantur.* Euthyphr. §. 8. ἐχθροὶ ἀλλήλοις γιγνόμεθα, ὅταν γιγνώμεθα. Gorg. p. 468. A. πότερον οὖν τὰ μεταξὺ ταῦτα ἕνεκεν τῶν ἀγαθῶν πράττουσιν, ὅταν πράττωσιν. ibid. p. 468. B. τὸ ἀγαθὸν ἄρα διώκοντες καὶ βαδίζομεν, ὅταν βαδίζωμεν,—καὶ τὸ ἐναντίον ἕσταμεν, ὅταν ἑστῶμεν. Phædr. p. 256. C. οὐ νόμος ἐστὶν, ἔτι ἐλθεῖν—καὶ δημοτέρους ἔρωτος χάριν, ὅταν γένωνται, γενέσθαι. Euthydem. p. 280. B. συνομολογησόμεθα —σοφίας παρούσης, ὅταν παρῇ, μηδὲν προσδεῖσθαι εὐτυχίας. de Republ. ii. p. 374. A. ἐξ ὧν μάλιστα ταῖς πόλεσι καὶ ἰδίᾳ καὶ δημοσίᾳ κακὰ γίγνεται, ὅταν γίγνηται. Stalb.

ὅσπερ τὸ γένος] Steph. 'For. καὶ ὅσπερ τὸ γένος, vel, ὥσπέρ τε τὸ γένος.' Sed quum manifestum sit, interpungi debere post ἡμᾶς· certe magis placet Cornarii conjectura, qui locum ita constituendum censebat, καὶ ὅσπερ τὴν ἡδονὴν, ὅσπερ τὸ γένος αὐτῆς, πρ. ἐβασ. At quum tamen sic non satis expedita sit potestas verborum ὅσπερ τὸ γένος αὐτῆς· vix dubitandum puto, quin Plato scripserit καὶ ὅσπερ τὸ γένος τῆς ἡδονῆς· quam lectionem expressit in Versione Ficinus, *Utque voluptatis primo genus ipsum investigavimus.* Scilicet lectio vulgata nobis ita nata videbatur. Scripserat quis in margine sui libri ad verba τὸ γένος τῆς ἡδονῆς πρότερον, interpretationis caussa, πρῶτον τὴν ἡδονήν. Hæc verba ab librariis inde illata sunt in textum, ita, ut nomen τῆς ἡδονῆς mutatum sit in pronomen αὐτῆς, et particula καὶ ante ὅσπερ omissa. Fisch.

πρῶτον τὴν ἡδονὴν, ὅσπερ τὸ γένος] Ita omnes editt. Sensus hic esse debet: *Quemadmodum antea primo quæsivimus, ad quodnam genus voluptas pertineret, deinde vero, ad quodnam sapientia et mens; ita nunc quoque primo illius originem et naturam inquiramus, tum vero mentis ac sapientiæ.* Steph. suspicabatur olim scriptum fuisse καὶ ὅσπερ τὸ γένος vel ὅσπερ τε τὸ γένος. Cornar. conjiciebat: καὶ ὥσπερ ἡδονὴν, ὅσπερ τὸ γένος αὐτῆς, πρ. ἐβασ. Uterque contorte. Nec expedita est ita potestas verborum ὅσπερ τὸ γένος αὐτῆς. Fischer quidem corrigebat καὶ ὅσπερ τὸ γένος τῆς ἡδονῆς, Ficinum secutus. Ac sane verba πρῶτον τὴν ἡδονὴν ob sequens πρότερα, admodum molesta sunt, utcunque distinxeris. Nisi forte ita corrigere malis: ἰδεῖν ἡμᾶς· καὶ πρῶτον τὴν ἡδονήν· ὡς γὰρ τὸ γένος αὐτῆς ctr. Scilicet ita ad ἡδονὴν e superioribus repetendum δεῖ ἡμᾶς ἰδεῖν et καὶ positum pro καὶ ταῦτα, ut sæpe. cfr. Abresch. Lect. Aristænet. p. 74. Schæfer. ad Long. p. 351. Jacobs in Athen. p. 157. Stalb.

Digitized by Google

πρότερον ἐβασανίσαμεν, οὕτω καὶ ταῦτα πρότερα. λύπης δ' αὖ χωρὶς τὴν ἡδονὴν οὐκ ἄν ποτε δυναίμεθα[a] ἱκανῶς βασανίσαι.

ΠΡΩ. Ἀλλ'[b] εἰ ταύτῃ[c] χρὴ πορεύεσθαι, ταύτῃ πορευώμεθα.

ΣΩ. Τί ἄρ'[d] οὖν σοὶ παθά περ ἐμοὶ φαίνεται τῆς γενέσεως αὐτῶν[e] πέρι;

ΠΡΩ. Τὸ ποῖον;

ΣΩ. Ἐν τῷ κοινῷ μοι γένει ἅμα φαίνεσθον[f] λύπη τε καὶ ἡδονὴ γίγνεσθαι κατὰ φύσιν.

ΠΡΩ. Κοινὸν δέ γε, ὦ φίλε Σώκρατες, ὑπομίμνησκε ἡμᾶς τί ποτε τῶν προειρημένων βούλει δηλοῦν.

ΣΩ. Ἔσται ταῦτ' εἰς δύναμιν, ὦ θαυμάσιε.

ΠΡΩ. Καλῶς εἶπες.

ΣΩ. Κοινὸν τοίνυν ὑπακούωμεν ὃ δὴ τῶν τεττάρων τρίτον ἐλέγομεν.[g]

ΠΡΩ. Ὃ[h] μετὰ τὸ ἄπειρον καὶ πέρας ἔλεγες; ἐν ᾧ καὶ ὑγίειαν, οἶμαι δὲ καὶ ἁρμονίαν, ἐτίθεσο;[i]

§. 60. ΣΩ. Κάλλιστ'[j] εἶπες. τὸν νοῦν δὲ ὅτι μάλιστ'[k] ἤδη πρόσεχε.

ΠΡΩ. Λέγε μόνον.

11. iii. 175. ΣΩ. Λέγω τοίνυν τῆς ἁρμονίας μὲν λυομένης ἡμῖν ἐν

b : ἀλλ' ΓΑΗΕΣΡΗ.—c εἰ ταύτην F.—d : ἆρ' ΓΗΕΡΗ.—e γενέσεως ὡς αὐτῶν Π. —f ἅμα φαινέμεθον Λ : φαίνεσθον ἅμα Ες.—g ἐλέγομεν om F.—h : ὃ ΓΗΕΡ.—i ἐτίθεις ΑΔ et pr Π, ἐτίθεσον Η.—j ὃ κάλλιστ' ΑΔ et pr Π, non alteri dantes. nec dant

δυναίμεθα] Ald. Bas. 1. 2. vitiose δυνάμεθα. Mox ante ἀλλ' εἰ ταύτῃ et ante ἆρ' οὖν in Ald. nomen Protarchi male deest. STALB.

ἆρ' οὖν σοὶ] Ita scripsi, quia pronomen legibus oppositionis tono erigendum. STALB.

κοινὸν γένος] Vocatur τὸ μικτὸν, e finito et infinito compositum. Ac nota hic tristitiam et dolorem dici γίγνεσθαι ἐν τῷ κοινῷ γένει, non εἶναι.—κοινὸν τοίνυν ὑπακούωμεν sub communi isto intelligamus. STALB.

ἐλέγομεν. ΠΡΩ. ὃ μετὰ] In Ald. est ἐλέγομεν· ὃ μετὰ τὸ ἄπειρον. ΠΡΩ. κάλλιστ' εἶπες. ΣΩ. τὸν νοῦν. Veram personarum notationem Fischer e Bas. 1. 2. et Ficino jam restituit. STALB.

§. 60. λέγω τοίνυν τῆς ἁρμονίας μὲν λυομένης—ῥηθῆναι] Laudatur hic locus in Ecl. Stobæi Phys. p. 90. ed. Cant. p. 772. ed. Heeren. Ibi vulgo pro μὲν λυομένης ἡμῖν legitur λυομένης μὲν ἡμῖν. Sed in cod. Vatic. et August. μὲν ἡμῖν deest. Et sane ἡμῖν vitii suspicionem movet. Pro ἐν τῷ τότε ibid. τῷ τότε. Mox ibid. εἰς τὴν αὐτὴν φύσιν ἀπία. —Transfert jam ea, quæ de finito et infinito, tanquam rerum elementis, adhuc disputaverat, ad naturam voluptatis et sapientiæ explicandam. Scilicet quæritur nunc de voluptate γεγενημένῃ ἐν τοῖς ζώοις. Quum vero omnia, quæ γεγενημένα sunt, et finito e infinito, per τὸ

Digitized by Google

τοῖς ζώοις ἅμα λύσιν[l] τῆς φύσεως καὶ γένεσιν ἀλγηδόνων ἐν τῷ τότε γίγνεσθαι χρόνῳ.

ΠΡΩ. Πάνυ λέγεις εἰκός.

ΣΩ. Πάλιν δὲ ἁρμοττομένης τε καὶ εἰς τὴν αὐτῆς φύσιν ἀπιούσης ἡδονὴν γίγνεσθαι λεκτέον, εἰ δεῖ δι' ὀλίγων περὶ μεγίστων ὅτι τάχιστα ῥηθῆναι.

ΠΡΩ. Οἶμαι μέν σε ὀρθῶς λέγειν, ὦ Σώκρατες, ἐμφανέστερον δὲ ἔτι[m] ταὐτὰ[n] ταῦτα πειρώμεθα λέγειν.

§. 61. ΣΩ. Οὐκοῦν τὰ δημόσιά που καὶ περιφανῆ ῥᾷστον συννοεῖν;

ΠΡΩ. Ποῖα.

ΣΩ. Πείνη[o] μέν που λύσις καὶ λύπη;

ΠΡΩ. Ναί.

ΣΩ. Ἐδωδῇ[p] δὲ πλήρωσις γιγνομένη πάλιν ἡδονή;

ΠΡΩ. Ναί.

ΣΩ. Δίψος[q] δ' αὖ φθορὰ καὶ λύπη καὶ λύσις, ἡ δὲ τοῦ ὑγροῦ πάλιν τὸ ξηρανθὲν πληροῦσα δύναμις ἡδονή.[r] II. 32.

ΓΗΕF.—[k] κάλλιστα Δ.—[l] λύσεως Δ.—[m] ἔτι om F.—[n] ταὐτὰ ΑΔ, om pr Π: τὰ αὐτὰ [a]s.—[o] πείνη...λύπη B.—[p] ἐδωδῇ ΑΒCw: ἐδωδὴ [a]s.—[q] δίψος Π, δίψης w.—

συμμισγόμενον copulato, constent, facile intelligitur, voluptatem et dolorem ex illorum temperamento in animalibus existere. Itaque si quando in iis τὸ πέρας et τὸ ἄπειρον inter se pugnant atque dissentiunt (λυομένης τῆς ἁρμονίας), dolores oriuntur; voluptates autem, ubi harmonia per dolorem sublata restituitur ac restauratur. Timæus p. 64. D. τὸ τῆς ἡδονῆς καὶ λύπης δεῖ δεῖ διανοεῖσθαι. Τὸ μὲν παρὰ φύσιν καὶ βίαιον γιγνόμενον ἀθρόον παρ' ἡμῖν πάθος, ἀλγεινόν· τὸ δ' εἰς φύσιν ἀπιὸν πάλιν ἀθρόον, ἡδύ· τὸ δ' ἐναντίον τούτοις, ἐναντίως. Stalb.

§. 61. ἐδωδὴ δὲ πλήρωσις] Schleiermacher mutari jussit in ἐδωδῇ δὲ πλήρωσις h. e. *expletio per cibum*. Hanc conjecturam Bekk. in textum recepit. Non recte, opinor. Nam quum leges oppositionis flagitent, ut illud vocabulum, quod primariam contineat notionem, statim ab initio ponatur, ordo verborum hic esse debuerat: πλήρωσις δ' ἐδωδῇ. Cibum cur primo loco posuerit, nullam reddere rationem. Nec video idoneam causam, cur vulgatam loco moveamus, modo ἐδωδὴ intelligas cum Ficino de *comestione* et verba πλήρωσις γιγνομένη πάλιν explicationis gratia addita putes. Certe apud Galenum ad Glauc. ἡ τῶν ἐχιδνῶν ἐδωδὴ significat *esum viperarum* h. e. *quum eduntur viperæ*, teste H. Steph. Thes. t. i. p. 1078. Ceterum Ficinus: *comestio vero repletio et voluptas*; sensum scilicet magis, quam verba secutus, ut solet interdum. Stalb.

καὶ λύσις] Sed verba καὶ λύσις temere ex antecedentibus repetita esse recte judicavit Schleiermacherus. Debuerat saltem scribi: φθορὰ καὶ λύσις καὶ λύπη. Nec sequentia integra sunt. Ficinus *discretio et dissolutio præter naturam æstu quodam effecta, molestia*. E quibus vix idoneum sensum erues. Nempe excidit hic copula, antea cum voc. λύσις alieno loco intrusa. Scribendum sine dubio πάθη καὶ λύπη, quemadmodum antea conjungebatur λύσις καὶ λύπη, et φθορὰ καὶ λύπη. Etenim et dissolutione et discretione τοῦ πνίγους, (nam ita junge) quæ fit contra naturam h. e. βιαίως, oritur *molestia quædam ac dolor*. Stalb.

Digitized by Google

διάκρισις[s] δέ γ'[t] αὖ καὶ διάλυσις,[u] ἡ παρὰ φύσιν τοῦ πνίγους πάθη, λύπη· κατὰ φύσιν δ' ἡ[v] πάλιν ἀπόδοσίς τε καὶ ψύξις ἡδονή.

ΠΡΩ. Πάνυ[w] μὲν οὖν.

ΣΩ. Καὶ ῥίγους ἡ μὲν παρὰ φύσιν τοῦ ζώου τῆς ὑγρότητος πῆξις λύπη· πάλιν δ' εἰς ταὐτὸν ἀπιόντων καὶ διακρινομένων ἡ κατὰ φύσιν ὁδὸς ἡδονή. καὶ ἑνὶ λόγῳ σκόπει εἴ σοι μέτριος ὁ λόγος, ὃς ἂν φῇ τὸ ἐκ τῆς ἀπείρου καὶ πέρατος κατὰ φύσιν ἔμψυχον γεγονὸς εἶδος, ὅ περ ἔλεγον ἐν τῷ πρόσθεν, ὅταν μὲν τοῦτο[x] φθείρηται, τὴν μὲν[y] φθορὰν λύπην εἶναι, τὴν δ' εἰς τὴν αὐτῶν οὐσίαν ὁδόν, ταύτην δ' αὖ πάλιν τὴν ἀναχώρησιν πάντων ἡδονήν.

ΠΡΩ. Ἔστω· δοκεῖ γάρ μοι τύπον γέ τινα ἔχειν.[z]

II. iii. 176.

[r] ἡδονή : τί μήν : mg Σ.—[s] διάκρισις...ἡδονὴ om pr Π.—[t] δέ τε Λ.—[u] καὶ διάλυσις om mg Π.—[v] δὲ corr Σ, δὴ *s.—[w] πάνυ...ἡδονὴ (addito : ναί :) in mg ponit rc Σ.

πάθη] Est Attica forma pro πάθος s. πάθημα, sæpe in Platone obvia, ut Tim. p. 80. B. de Legg. v. p. 728. C. ix. p. 865. E. p. 866. B. Suidas Πάθη· θηλυκὸν, τὸ πάθος. Similes formæ sunt μάθη, ἄσκη, βλάστη, αὔξη al. Vid. interptt. Thom. Mag. p. 127. Pierson. ad Mœr. p. 4. STALB.

δ' ἡ πάλιν] Tolerari non potest vulgata lectio δὴ πάλιν ἀπόδοσις, quum opus sit particula δέ. Heusdius in Spec. Crit. p. 100. κατὰ φύσιν δ' ἡ πάλιν ἀπόδοσις, quod a Bekkero in texta receptum ego quoque recepi. Dici etiam potuerat ἡ κατὰ φύσιν δὲ πάλιν ἀπόδοσις, non item ἡ δὲ κατὰ φύσιν πάλιν ἀπόδοσις. Particula δὲ tertium locum ideo debet occupare, quia verba κατὰ φύσιν ex oppositionis legibus in periodi initio erant collocanda. Etenim verbis ita ordinatis ἡ δὲ κατὰ φύσιν ἀπόδοσις, vim habet particula adversativa; nunc vero sonus hæret in verbis κατὰ φύσιν, ut res ipsa postulat. Idem discrimen in Latina lingua obtinet, ut apud Cic. de Legg. i. 22. 25. 'Est hujus vero disputationis proprium, id quod exspectas,' ubi vid. Gœrenz. ibid. i. 10. 29. 'nihil est enim unum uni tam simile.' ib. i. 14. 34. 'quid enim est?' ubi Gœrenzius doçet, quid differat alterum 'quid est enim?' Ita etiam γὰρ Apolog. Socrat. c. 4. ἀλλ' οὐ γὰρ ἐπίσταμαι, ubi sonus inest negandi particulæ. Crit. c. 2. ὅτι ἠδίκει γὰρ ἡμᾶς ἡ πόλις. Xenoph. Cyrop. vii. 5. 25. ἐν κώμῃ δοκεῖ γὰρ ἡ πόλις πᾶσα εἶναι. Alia exempla collegerunt Abresch. in Lect. Aristænet. p. 255. Schæfer. Melet. Crit. p. 76. STALB.

πῆξις] Cum duplici genitivo constructum; de quo vid. Matth. Gr. Gr. p. 431. STALB.

ἀπιόντων καὶ διακρινομένων] E pregresso ὑγρότητος supple ὑγρῶν.—Pro εἰς ταὐτὸν apud Stob. est εἰς τὴν αὐτὴν φύσιν, unde Schleiermacher. extudit εἰς τὴν ἑαυτῶν φύσιν. Vera est vulgata, modo explices: *in eundem statum, in quo antea fuerant.* Stobæi lectio fluxit ex interpretamento. STALB.

μέτριος] I. q. ὀρθὸς, καλὸς de Republ. x. p. 592. E. τοῦτο ἐμοίγε δοκεῖς μετριώτατ' ἂν προσαγορεύεσθαι. Apolog. Socrat. c. 30. ταῦτα μὲν οὖν ἴσως οὕτως καὶ ὧδε σχεῖν καὶ οἶμαι αὐτὰ μετρίως ἔχειν. Critias p. 106. A. ὅσα ἐρρήθη μετρίως. STALB.

ἐκ τοῦ ἀπείρου] E Bas. 2. restitui; reliquæ editt. omnes ἐκ τῆς ἀπείρου, unde Schleiermacher. ἐκ τῆς ἀπειρίας effinxit. STALB.

ἔμψυχον] Schleiermach. conjecturam in textum recepi; editt. omnes ἔμψυχα. De repetita particula δὲ jam supra monui.—τύπον τινὰ ἔχειν *verisimile esse.* cfr. ad §. 144.—ἐν τούτοις τοῖς πάθεσιν ἑκατέροις sc. ἐν τῷ φθείρεσθαι καὶ ἐν τῷ εἰς τὴν αὐτὴν φύσιν ἀναχωρεῖν. STALB.

Digitized by Google

ΣΩ. Τοῦτο μὲν τοίνυν ἓν εἶδος τιθώμεθα λύπης τε καὶ ἡδονῆς ἐν τούτοις τοῖς πάθεσιν ἑκατέροις;

ΠΡΩ. Κείσθω.

§. 62. ΣΩ. Τίθει τοίνυν αὐτῆς τῆς ψυχῆς κατὰ τὸ[a] §. 18. F. τούτων τῶν παθημάτων προσδόκημα τὸ μὲν πρὸ τῶν ἡδέων ἐλπιζόμενον ἡδὺ καὶ θαῤῥαλέον,[b] τὸ δὲ πρὸ τῶν λυπηρῶν[c] φοβερὸν καὶ ἀλγεινόν.

ΠΡΩ. Ἔστι γὰρ οὖν[d] τοῦθ' ἡδονῆς καὶ λύπης ἕτερον εἶδος, τὸ χωρὶς τοῦ σώματος αὐτῆς τῆς ψυχῆς διὰ προσδοκίας[e] γιγνόμενον.

ΣΩ. Ὀρθῶς ὑπέλαβες. ἐν γὰρ τούτοις οἶμαι, κατά γε τὴν ἐμὴν δόξαν, εἰλικρινέσι τε ἑκατέροις γιγνομένοις, ὡς δοκεῖ, καὶ ἀμίκτοις λύπης τε καὶ ἡδονῆς, ἐμφανὲς ἔσεσθαι τὸ περὶ τὴν ἡδονήν, πότερον ὅλον ἐστὶ τὸ γένος ἀσπαστόν, ἢ τοῦτο μὲν ἑτέρῳ τινὶ[f] τῶν προειρημένων δοτέον ἡμῖν γενῶν, ἡδονῇ δὲ[g] καὶ λύπῃ, καθά περ θερμῷ καὶ ψυχρῷ καὶ πᾶ- II. iii. 177.

—[x] τούτω pr Ξ.—[y] μὲν δὴ Ξ.—[z] ἔχειν οὕτω rc Π.—[a] τὸ om Λ.—[b] θαρραλαῖον ΛF H et pr Ξ.—[c] λυπῶν ΧΔΠψ.—[d] οὖν om ΛΞF.—[e] προσδοκίας ΧΓΔΠΣΒCHψ: προσδοκίαν *s.—[f] τινι om Χ et pr Π, in mg ponit Δ.—[g] δὲ ΧΔΞΠ et corr Σ.—[h] τὸ τί

§. 62. *τίθει τοίνυν αὐτῆς τῆς ψυχῆς—ἀλγεινὸν*] Quemadmodum voluptates atque dolores, singularum animalis partium disturbatione et restauratione oriri docebatur, ita jam aliud illorum genus ostenditur, e solo animo oriundum, qui, ubi harmoniæ dissolutionem metuat, dolore afficiatur, ubi vero prævideat ejus restitutionem, lætitiam sentiat. Stalb.

